# Περὶ τῶν Καταχρηστικῶς Μορίων.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

Τῶν δὲ Καταχρηστικῶς Μορίων ἐν τῇ συντάξει ἐστὶ τὸ μὲν Ἀκμὴν·

Καὶ ἐπίῤῥημα τῷ Ἔτι ἰσοδυναμοῦν· οἷον· Σὺ μὲν ἀκμὴν φιλοσοφεῖς, ἐγὼ δὲ τοὺς φιλοσοφοῦντας ἐπανορθῶ (Ἰσοκρ. πρὸς Δημόν.).

## Τὸ δ᾽ Ἀμέλει.

Βεβαιωτικὸν, Αἰτιολογικὸν, Ἐναντιωματικὸν, καὶ Παραπληρωματικόν ἐστιν εἰς μορίου σημασίαν μεταπεσὸν, καὶ Ἐξηγηματικὸν, μόνον τε καὶ μετὰ τοῦ Τοι· οἷον· Ἀμέλει τοι.

## Τὸ δ Ἀνθ᾽ ὧν.

Αἰτιολογικόν ἐστι πρὸς ἐνεστῶτα ἢ παρῳχημένον φερόμενον· οἷον· Ἀπόδος τὰ πορθμεῖα, ἀνθ᾽ ὧν σε διεπορθμευσάμην (Λουκιαν. ν. δ. Χάρ. Μελίπ.).

## Τὸ δ᾽ Ἀτεχνῶς.

Πρὸς τῷ κυρίῳ σημαινομένῳ τῷ δίχα τέχνης, καὶ Βεβαιωτικόν ἐστι, καὶ Ἐπιτατικόν· οἷον· Τοῦτο δὲ ἁπλῶς καὶ ἀτεχνῶς, καὶ ἴσως εὐήθως ἔχω παρ᾽ ἐμαυτῷ (Πλάτ. Φαίδ.). Ἀλλ᾽ ἀτεχνῶς, ὥσπερ ὁ Πρωτεὺς, παντοδαπὸς γίγνῃ (Πλάτ. Ἴων.). Θεῖος εἶ περὶ τοὺς λόγους, καὶ ἀτεχνῶς θαυμάσιος (Πλάτ. Εὐθύφρ.).

Ε.Υ.Δ την Κ.τ.λ. ΙΩΑΝΝΙΝΑ 2006

## Τὸ δ' Εἰκαίτις ἄλλος, Εἴπερ τις ἄλλος.

Ἐνδοτικά εἰσιν, ὑπεροχικὴν δ' οὐχ ἥκιστα τὴν ἔννοιαν ἔχει· οἷον· Οἶσθα γὰρ εἴπερ τις ἄλλων ἀνθρώπων. Ὡς ἡμεῖς γε νομίζομεν εἰ καί τις ἄλλος ἀνὴρ, καὶ ὁ Κῦρος ἄξιος θαυμάζεσθαι (Ξενοφ. Κύρ. παιδ. Ἑ. ά. 2.). Καὶ ὁμοιοτρόπως τοῖς ἡγουμένοις· οἷον· Ἀθήνας τὰς χρυσᾶς ἐμοὶ, εἴπερ τινι (Γρηγόρ. Ναζιαν. εἰς Βασίλ.). Ἐγὼ δὲ, εἴπερ τινι καὶ ἄλλῳ τοῦτο προσηκόντως εἴρηται, νομίζω κἀμοὶ νῦν ἁρμόττει εἰπεῖν (Δημοσθ. πρὸς Τίμαρχ.).

## Τὸ δ' Ἐν ᾧ·

Τῷ Ὅτε ὁμοίως συντάσσεται ἀδιαφόρως πᾶσι τοῖς χρόνοις πρὸς ὁριστικόν· οἷον· Οὓς ἐχρῆν, ὅτε ἀσφαλέστατοι ἦσαν, τότε προσιέναι, καὶ μὴ ἐν ᾧ ἡμεῖς μὲν ἠδικήμεθα, οὗτοι δὲ κινδυνεύουσιν (Θουκυδ. ξυγγρ. Ά. λβ'.).

## Τὸ δ' Ἐς ἀεί.

Πᾶσι τοῖς ὁριστικοῖς χρόνοις συντάσσεται ἀδιαφόρως, πλὴν τοῦ παρακειμένου· κυρίως μέντοι πρὸς μέλλοντα· οἷον· Ἐς ἀεὶ ἔσται κίνησις.

## Τὸ δὲ Ἔς τε.

Τὸ Ἕως δηλοῦν, ὁμοίως ἐκείνῳ συντάσσεται· οἷον· Ἔς τε περ οἱ ὀψιαίτατα κοιμώμενοι διάγουσι (Ξενοφ. Κύρ. παιδ. Ἡ. ή. 5.). Προσλαβὸν δὲ τὸν Ἄν, φέρεται πρὸς ὑποτακτικόν· οἷον· Παραγγείλας περιτειχίζειν τὴν πόλιν, ἔστ' ἂν ἀφίκηται αὐτός (Ἀῤῥιαν. ἀνάβασ. Ἀλεξ. Δ'. κζ'. 7.).

## Τὸ δ' Ἐφ' ᾧ, Ἐφ' ὅτῳ, Ἐφ' οἷς.

Αἰτιολογικά εἰσι· καὶ τὸ μὲν ποιητικὸν αἰτιολογοῦντα πρὸς ἐνεστῶτα καὶ παρῳχημένον φέρονται τοῦ ὁριστικοῦ· οἷον· Ἐφ' ᾧ Κῦρος ταῦτα ἐποιήσατο (Ξενοφ. Κύρ. παιδ. Ἡ. ή. 11.). Ἐφ' ὅτῳ καὶ κομᾷς (Λουκιαν. Νιγρῖνος). Καὶ πρὸς ἡμᾶς, ἐφ' οἷς ἐδυστυχοῦμεν ἐμήνιε (Συνέσ. Ἐπιστ. γ'.). Καὶ ἄνευ τῆς Ἐπὶ· οἷον· Οἷς γὰρ οὐκ ἦν εἰπεῖν, παραλέλειπται (Ἀφθον. Προγυμνάσμ. ἔκφρ. ἀκροπ.). Τὸ δὲ τελικὸν κατὰ τὸν ἵνα, πρὸς ὁριστικὸν μέλλοντα καὶ ἀπαρέμφατον· οἷον· Ἐφ' ᾧ μηδὲν κακὸν ποιήσουσιν (Θουκυδ. ξυγγρ. Ά.ρκς'.). Ἐφ' ᾧτε τὰ προσταχθησόμενα ποιήσειν (Ἡλιοδ. Αἰθοπ. Έ.). Ἐφ' ὅτῳ καὶ συνεῖναι τοῖς νέοις (Λουκιαν. Εὐνοῦχος.).

## Τὸ δὲ Καὶ Ταῦτα.

Ἀντὶ τοῦ μάλιστα ἢ τοῦ Καίπερ λαμβάνεται· οἷον. Σὺ δέ μοι δοκεῖς οὐ προσέχειν τὸν νοῦν τούτοις, καὶ ταῦτα σοφὸς ὤν (Πλάτ. Γοργίας.). Ἔλλειψιν δ' ἔχει ῥήματος, ὡς δῆλον ἐκ τοῦ, Καὶ ταῦτα, γυναῖκα ἔχων, ποιεῖς (Δημοσθ. ὑπὲρ Φορμ.). Καὶ ταῦτα ἔπραξα, βάρβαρος ὤν. Καὶ ταῦτα δὲ ἔπραττον, αὐτὸς προκινδυνεύων (Λουκιαν. ν. δ. Ἀλεξ. Ἀννίβ. Μίν. Σκηπ.).

## Τὸ δ' Οἷα καὶ Οἷα δή.

Αἰτιολογικῶς λαμβανόμενα πρὸς μετοχὴν φέρονται· οἷον· Αὐτὸς δὴ τὴν ἐν μέσῳ νῆσον, οἷα δὴ θεός, εὐμαρῶς διεκόσμησεν (Πλάτ. Κριτίας.).

Ε.Υ.Δ.της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## Τὸ δ' Οἷά περ, ὅσα, καὶ ὅσαπερ.

Ὁμοιωματικῶς κατὰ τὸ Ὥσπερ λεγόμενα, ὁμοίως ἐκείνῳ συντάσσονται· οἷον· Καὶ ἐπύθοντο αὐτῶν οἱ ἔφοροι, ἃ ἔλεγον, ὄντα, οἷά περ καὶ πρὸς Ἆγιν (Ξενοφ. Ἑλληνικ. Γ. β΄. 8.)· Καὶ ἀντὶ γλώσσης, ὅσα καὶ χειρὶ χρῆσθαι, ἔγνωκας (Λουκιαν. Ἀποφράδ.). Νυκτὶ μὲν δήπου, ὅσα περ οἱ ἄλλοι ἡμέρᾳ, δύνασθε χρῆσθαι· λιμῷ δὲ, ὅσα περ ὄψῳ διαχρῆσθε (Ξενοφ. Κύρ. παιδ. Α. ς΄. 7.).

## Τὸ δ' Οἷον.

ά. Τὸ Δυνατόν· οἷον· Οἷος ἐχθροὺς τε κακῶσαι, καὶ φίλους ὀνῆσαι (Συνέσ. Ἐπισ' ξζ΄.). β΄. Τὸ Ἕτοιμον· οἷον· Οἷος ἦν πολεμεῖν (Δημοσθέν. κατὰ Ἀριστοκρατ.)· γ΄. Τὸ Ὅμοιον· οἷον· Τοῖς οἵοις τε ἡμῖν. δ΄. Τὸ Μόνον ἐν τῷ οὐχ οἷον, ἀλλά. έ. Τὸ Κωλύον· οἷον· Οὐδὲν οἷον τὸ αὐτὸν ἐρωτᾶν (Πλάτ. Γοργίας.). ς΄ Τὸ Ἱκανόν· οἷον· Τί δ' οὖν, ὦ Λυκῖνε, οἷά σοι ἡττῆσθαι δοκῶ (Λουκιαν. πλοῖον ἢ εὐχαί.). ζ΄. Ἀποστατικόν· οἷον· Τοιοῦτος, οἷος τῇ πόλει δεδόσθαι (Πλάτ. Ἀπολογ.). ή. Ὁμοιωματικόν· οἷον· Τοιοῦτος Αἴας, οἷος Ἀχιλλεύς. θ΄. Θαυμαστικόν· οἷον· Ὢ οἵα κεφαλή! ί. Ἐπιτατικόν. οἷον· Οἷον ἁπαλώτατος (Λουκιαν. Εἰκόνες.). ιά. Παραδειγματικόν· εἰ τ' οὖν Ἐξηγηματικόν· οἷον· Οἷον θυμὸν μετρῆσαι (Γρηγ. Ναζιαν. Ἀπολογητ.). ιβ΄. Διστακτικόν, ἐν ἴσῳ τῷ σχεδόν· οἷον· Οἷον ἐπὶ σταδίους τρισχιλίους (Λουκιαν. Ἀληθ. Ἱστορ. Α.). ιγ΄. Κολαστικόν· οἷον· Καὶ οἷον μεγάλου φωτὸς μικρὸν ἀπαύγασμα (Γρηγόρ. Ναζιαν. περὶ Θεολογ.).

## Τὸ δ' Ὅσα γε.

Κατ' ἔλλειψιν δοκεῖ τῆς Κατὰ λεγόμενον· οἷον· Ὅσα γ' ἐμὲ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. Λάππας Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

εἰδέναι· ἀντὶ, Καθ' ὅσα ἐγὼ δύναμαι γινώσκειν. Ὅσα γε ἥκει ἐπ' ἐμὲ· ἀντὶ κατὰ τὴν ἐμαυτοῦ δύναμιν. Ὅσα γ' ἐπὶ σώματος (Μάξιμ. Τύριος λόγ. ιή.). ἀντὶ τὰ σωματικά.

## Τὸ δ' Ὅσον οὔπω.

Τὸ μὴ πολὺ τοῦ ἐνεστῶτος ἀφεστηκὸς σημαῖνον, πρὸς τοιούτους φέρεται χρόνους· οἷον· Τὴν ὅσον οὐδέπω σφαγὴν ἀναμένων (Ἡλιοδ. Αἰθιοπ. Ί.).

## Τὸ δ' Ὅσον οὐ.

Ἀντὶ τοῦ Σχεδὸν λέγεται· οἷον· Τὸν μέλλοντα ὅσον οὐ παρόντα πόλεμον (Θουκυδ. ξυγγρ. Ά. λς΄.).

## Τὸ δ' Ὅ, τιπερ ὄφελος.

Ἥκει εἰς χρῆσιν ἀντὶ τοῦ, Τὸ ἄνθος, Τὸ κεφάλαιον· οἷον· Αὐτοί τε οὖν ἤδη συνεληλύθατε, ὅ, τι περ ὄφελος ἐξ ἑκάστης πόλεως (Λουκιαν. Ἡρόδοτ. ἢ Ἀετίων.). Οὐ γὰρ σατράπας· · · ἀλλὰ Περσῶν ὅ, τι περ ὄφελος καὶ Μήδων (Ἀριαν. ἀνάβ. Ἀλεξ. Β΄. ζ΄.)· Ὅθεν καὶ, ἃ τὸ Ὅ,τι περ ὄφελος σημαίνει, πολλάκις ἀντιπαρατίθεται· οἷον· Ἐξ ἁπάσης ἡλικίας, ὅ, τι περ τὸ ἀνθηρότατον (Λουκ. πλοῖον ἢ εὐχαί.). Τοὺς σοφωτάτους πρὸ τῶν ἄλλων ἠξίωσεν ἑστιᾷν, ὅ, τι περ τὸ κεφάλαιον ἐξ ἑκάστης αἱρέσεως ἀπανθισάμενος (Λουκ. Συμπ. ἢ Λαπιθ.).

## Τὸ δ' Ὅτῳ.

Τροπολογικὸν ὂν, μέλλοντι συντάσσεται· οἷον· Ὥρα οὖν, ἔ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ.Ι.Ε.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

φη ὁ Κῦρος, παθασκευάζεσθαί σοι εἴη, ὅ φ καὶ μαστιγώσεις με (Ξενόφ. Κύρ. παιδ. Α. δ. 13.).

## Τὸ δ' Οὐδὲν, Οὐδέν τι μᾶλλον.

Ἀττικῶς πολλαχοῦ τοῦ Ἔτι μᾶλλον δύναμιν ἔχει· οἷον· Ὁ δὲ Κῦρος οὐδὲν μᾶλλον ἀνίει (Ξενοφ. Κύρ. παιδ. Α. δ'. 22.). Κῦρος δὲ ὁρῶν ταῦτα, οὐδέν τι μᾶλλον ἀφίστατο (Ξενοφ. Κύρ. παιδ. Ζ'. ά. 4.). Ἤτοι ἔτι μᾶλλον οὐκ ἀνίει, οὐκ ἀφίστατο.

## Τὸ δὲ Πᾶσα ἀνάγκη.

Ἀττικῶς λέγεται ἀντὶ τοῦ ἁπλῶς ἀναγκαῖον· οἷον· Πρῶτον μὲν δὴ οὐσίαν κεκτημένον μηδένα ἰδίαν, ἂν μὴ πᾶσα ἀνάγκη (Πλάτων πολιτ. Γ'.). Τὸ τοῦ σώματος εἶδος πᾶν καὶ βάθος ἔχει, τὸ δὲ βάθος αὖ, πᾶσα ἀνάγκη τὴν ἐπίπεδον περιειληφέναι φύσιν (Πλάτων Τίμαιος.

## Τὸ δὲ Σχολῆ γε.

ά. Ἀντὶ τοῦ πολλῷ μᾶλλον, ἢ Σχεδὸν λαμβάνεται· οἷον. αὗται τῶν περὶ τὸ σῶμα αἰσθήσεων μὴ ἀκριβεῖς εἰσι, μηδὲ σαφεῖς, σχολῆ γε αἱ ἄλλαι (Πλάτ. Φαίδων.). β'. Ἀντὶ τοῦ Οὐδαμῶς. οἷον· Ἤπου σχολῆ γε τῶν ἄλλων πολιτῶν ἡξ οὗτο μνησικακεῖν (Ἀνδοκίδης περὶ Μυστηρ.). Καὶ μετὰ τοῦ Γὰρ ἂν· οἷον· Τὰ δὲ τῶν βαρβάρων τί χρὴ λέγειν. σχολῆ γὰρ ἂν ἐκεῖνοι τὰ Ὁμήρου μάθοιεν (Μαξίμ. Τυρ. λόγ. Ζ'.).

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠΙΚ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ τηλ. ... 2006 ΙΩΑΝΝΙΝΑ

## Τὸ δὲ Τὴν ἀρχὴν.

Παρὰ τοῖς Ἀττικισταῖς καὶ ἀντὶ τοῦ Οὐδαμῶς λαμβάνεται· οἷον· Οἱ δὲ Περσικοὶ νόμοι, ἐπιμέλονται, ὅπως μὴ τὴν ἀρχὴν ἔσονται τοιοῦτοι οἱ πολῖται (Ξενοφ. Κύρ. παιδ. Ά. β΄. 3.).

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Γ. ΠΕΤΣΙΟΣ

## Τὸ δ' Ὥς τις καὶ ἄλλος.

Ὅμοιόν ἐστι τῷ Εἴ καί τις ἄλλος, ἐνδοτικὸν δηλαδὴ μεθ' ὑπεροχῆς· οἷον· Ἱκανὸς, ὥς τις καὶ ἄλλος, φροντίζειν ἦν (Ξενοφ. Κύρ. Ἀνάβ. Β΄. ϛ΄.).

## Σημείωσις.

Ἀλλὰ τὰ τοιαῦτα γὰρ ἐπιπλέον ἐξακριβοῦν Γραμματικοῦ μέν ἐστι, γραμματικῆς δ' οὔ· τοῦ μὲν γὰρ ἔργον καὶ τὰ καθ ἕκαστα τῆς γλώσσης ἀκριβῶς, ὡς οἷόν τε, ἐξετάζειν, καὶ τὰ καθόλου, τῆς δὲ Γραμματικῆς, τὴν μέθοδον τῆς γλώσσης διδασκούσης περὶ τὰ καθόλου, καὶ τοὺς κανόνας ἐνασχολεῖσθαι ἔργον· εἰ δέ που καὶ τῶν κατὰ μέρους ἅψοιτο, τὸν τρόπον καὶ τῆς τῶν τοιούτων ἐξετάσεως διὰ τούτου διδάσκει. Ἡμῖν δὲ περὶ Μορίων, ἰδιωμάτων ὄντων τῆς Ἑλλάδος φωνῆς οὐκ εὐκαταφρονήτων, καὶ πρὸς Ἑλληνισμὸν λόγου πολύ τι συμβαλλόντων, (ὡς εἴ τις ταῦτα ἀγνοείη, οὐμενουν εἴπειτις ἂν, ἡλίκη ἀπὸ τοῦ ἀκριβοῦς τῆς καθ' ἕλληνας φωνῆς ἐπὶ τὸ ἐναντίον ἡ πτῶσις ἐπισυμβήσεται.) τὴν ἀφορμὴν ἐκ τῶν εἰρημένων λαβοῦσι, τὴν χρῆσιν ἀεὶ ἀκριβῶς παρατηρητέον, καὶ ἐν ἀκριβέσι λεξικοῖς τὰ καθ' ἕκαστα ἐξεταστέον, καὶ, ὅσοι περὶ τούτων τὴν πραγματείαν ἰδίᾳ ἐποιήσαντο.

Ε.Υ.Δ. τμ. Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

# ΤΜΗΜΑ ΤΕΤΑΡΤΟΝ.

## ΣΧΗΜΑΤΑ.

### Ἢ Περὶ τῆς κατὰ τὰ Πάθη τοῦ Λόγου συντάξεως.

Σχήματα δὲ, ἢ Πάθη τοῦ Λόγου εἰσὶν, Πλεονασμὸς, Ἔλλειψις, Μετάθεσις, Μετάληψις, Σύμπτωσις, Διάλυσις, Ἀνάλυσις, καὶ Συναίρεσις.

## Περὶ Πλεονασμοῦ.

Πλεονασμὸς μὲν οὖν ἐστι διττὸς, ἤτοι λόγου· ὡς, Πάντες μὲν ἔφερον, καὶ οὐδεὶς ἦν ἀσυντελής· δῆλον γὰρ, ὅτι πλεονάζει ἅτερος τῶν δυοῖν τούτων λόγων· ἰσοδυναμοῦσι γὰρ ἀλλήλοις· ἢ λέξεως· ὡς τὰ, Ἑκὼν εἶναι, Ληρεῖς ἔχων, Ὤχετ' ἐπιὼν, Παίζεις ἔχων, καὶ τὰ τοιαῦτα.

### Εἴδη Πλεονασμοῦ.

ά. Διπλασιασμός· ὅταν δὶς τὸ αὐτὸ λέγηται· οἷον· Καὶ εἰ πυρὶ χεῖρας ἔοικεν, εἰ πυρὶ χεῖρας ἔοικεν. Ἔστιν, ὦ ἄνδρες Ἀθηναῖοι, χρήματα, ἔστι. καὶ, τότε δὴ, τότε.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ. ... τ.Π ΙΩΑΝΝΙΝΑ 2006

β'. Ἐπανάληψις· ὅταν πολλάκις τὸ αὐτὸ ἐπαναλαμβάνηται· οἷον· Τίς γέγονεν ἀνδρειότερος ἐν τοῖς Ἕλλησι; Λεωνίδης· Λεωνίδης φημὶ, ὁ ἐν Θερμοπύλαις ἀριστεύσας κατὰ τῶν Μήδων. Λεωνίδης, ὁ αὐτομολήσας πρὸς τὸν ὑπὲρ τῆς πατρίδος κίνδυνον. Λεωνίδης, ὁ τὸν μετ' ἐλευθερίας θάνατον τιθέμενος ἔμπροσθεν, ἢ ζῆν ὑπὸ τῷ Μήδῳ γενόμενος. Λεωνίδης, ὁ τῷ στρατοπέδῳ τῶν Μήδων ἐπιπεσὼν, ὡς τεθνηξόμενος ὑπὲρ τῆς Ἑλλάδος.

γ'. Ἐπάνοδος· ὅταν, τινῶν ἀτελῶς προταχθέντων, ἐπανίωμεν ἐφ' ἕκαστον. τὸ λοιπὸν ἀποδώσοντες τῇ ἐννοίᾳ τοῦ λόγου· οἷον· Μιτυληναῖοι καὶ Ἀθηναῖοι· οἱ μὲν ἀπαιτέοντες τὴν χώραν, οἱ δ' Ἀθηναῖοι. καὶ τλ.

δ'. Κλίμαξ, ὅταν τὴν τελευτὴν τοῦ προτέρου λόγου, ἀρχὴν ποιῶμεν τοῦ ἑπομένου· ἐπὶ πλεῖον μηκύνοντες τὰ τῆς διανοίας· οἷον· Οὐκ εἶπον μὲν ταῦτα, οὐκ ἔγραψα δέ· οὐδ' ἔγραψα μὲν, οὐκ ἐπρέσβευσα δέ· οὐδ', ἐπρέσβευσα μὲν, οὐκ ἔπεισα δὲ Θηβαίους·

ε'. Περίφρασις, ὅταν διὰ πολλῶν λέγωμεν τὰ δι' ὀλίγων λεχθῆναι δυνάμενα· οἷον. Πόνον δὲ τοῦ ζῆν ἡδέως ἡγεμόνα νομίζετε· ἀντὶ πονεῖν προθυμεῖσθε· τοιοῦτο δὲ καὶ, Υἷες Ἀχαιῶν, ἀντὶ Ἀχαιοὶ· καὶ, Οἱ ἀπὸ τῆς Στοᾶς, ἀντὶ οἱ Στωϊκοὶ· καὶ: Οὐκ ἔστιν ὅς τις, ἀντὶ τοῦ Οὐδεὶς· καὶ, ὡς ἔχω δυνάμεως, ἀντὶ, ὡς δύναμαι. Διὰ στόματος ἔχω· ἀντὶ, Ἐπαινῶ· καὶ μυρία τοιαῦτα.

ς'. Ἐπεξήγησις, ὅταν προτιθέντες τινὰ ἀσαφῆ, ἐπάγωμεν σαφέστερα, δι' ὧν τὰ πρότερον ἀσαφῶς εἰρημένα, σαφῆ καθίσταμεν. οἷον. Ὑμεῖς γὰρ καὶ πλησιάζετε αὐτοῖς τῷ ἑαυτοῦ μέρει· ὡς εἰ ἔλεγεν· ἕκαστος δηλαδὴ πλησιάζει ὑμῶν τῷ ἑαυτοῦ μέρει.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Περὶ Ἐλλείψεως.

Ἔλλειψις δὲ διττὴ, ἤτοι λόγου· οἷον. Κόσμος ἀνθρώπου ἐστὶ φρόνησις, δικαιοσύνη, ἀνδρεία· πᾶσι γὰρ προσυπακούεται τὸ Κόσμος ἀνθρώπῳ ἐστὶ· καὶ, Εἰ μὲν κατέδυσαν τινὰς, εἰ δὲ μὴ, ἀνεκρούοντο· οὗ τὸ πλῆρες· Εἰ μὲν κατέδυσαν τινὰς ναῦς, εὖ ἂν εἶχεν, εἰ δὲ μὴ κατέδυσαν, ἀνεκρούοντο· ἢ λέξεως· οἷον· Ὡς βαθὺν ἐκοιμήθης· Ὕπνον δηλαδή.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

### Εἴδη Ἐλλείψεως.

α΄. Σύλληψις, τετραχῶς δὲ αὕτη. α΄. Κατὰ Γένος· ἐὰν διάφορα γένη προτάττωνται ἤτοι ἐπιθέτου ἢ μετοχῆς, τὸ ἐπικρατέστερον γένος συλλαμβάνει τὰ λοιπά. Καὶ τὸ μὲν ἀρσενικὸν συλλαμβάνει τὸ θηλυκόν· οἷον. Ἀετὸς καὶ Ἀλώπηξ φιλιωθέντες· τὸ δὲ θηλυκὸν τὸ οὐδέτερον· οἷον. Αἱ γυναῖκες καὶ τὰ παιδία μένουσιν ἐν οἴκοις προσδεχόμεναι· καὶ τὸ σημαινόμενον δὲ συλλαμβάνει εἰς οὐδέτερον τὰ ἀρσενικὰ καὶ θηλυκά· οἷον. Ἀνὴρ καὶ γυνὴ ζῶα εἰσὶ λογικά· Νοῦς μὲν ἤδη καὶ αἴσθησις ἀπ' ἀλλήλων διακριθέντα. β΄. Κατὰ πτῶσιν· ὅτε ἡ ὀνομαστικὴ συλλαμβάνει ἑτέραν πτῶσιν μετὰ προθέσεως· οἷον. Ἵππος μετὰ τοῦ ὄνου τρέχουσι. γ΄. Κατὰ ἀριθμόν· ὅτε ὁ Πληθυντικὸς συλλαμβάνει τὸν ἑνικόν· οἷον. Οἱ στρατιῶται καὶ ὁ Τριβοῦνος πολεμοῦσι. δ΄. Κατὰ πρόσωπον· ὅτε τὸ πρῶτον συλλαμβάνει τὸ δεύτερον καὶ τρίτον εἰς πληθυντικὸν ἴδιον· οἷον. Ἐγὼ καὶ σὺ περιπατοῦμεν. Ἐγὼ κἀκεῖνος περιπατοῦμεν, καὶ τὸ δεύτερον συλλαμβάνει τὸ τρίτον· οἷον. Σὺ κἀκεῖνος περιπατεῖτε.

β΄. Ζεῦγμα, τριπλοῦν δὲ τοῦτο. α΄. Προεπιζευκτικόν· ὅταν δύο ὦσιν ὀνόματα, καὶ ἓν ῥῆμα προτασσόμενον πληθυντικῶς· οἷον. Φιλοσοφοῦσι Σωκράτης καὶ Πλάτων. β΄. Διαζευκτικόν· ὅταν

Ε.ΤΑ. της Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

μεσοσυλλαβῇ τὸ ῥῆμα πληθυντικῶς· οἷον. Σωκράτης φιλοσοφοῦσι καὶ Πλάτων. Ἐγὼ ἤλθομεν καὶ σύ. γ'. Ἐπιζευκτικόν· ὅταν ὑποτάσσηται τὸ ῥῆμα ἑνικῶς· οἷον· Σωκράτης, καὶ Πλάτων φιλοσοφεῖ.

γ'. Μερισμὸς ἢ Πρόληψις. Ὅταν προηγεῖται ὅλον καὶ διαιρεῖται εἰς μέρη. Ἔστι δὲ, α'. Ὀρθὸς· ὅταν τὸ ῥῆμα ἓν ᾖ, ἀποδιδόμενον καὶ εἰς τὸ ὅλον καὶ εἰς τὰ μέρη· οἷον. Ἀετοὶ διέπτησαν δύο, ὁ μὲν, ἀπ' ἀνατολῶν, ὁ δὲ, ἀπὸ δυσμῶν. β'. Πλάγιον μὲν τὸ ἄθροισμα, ὀρθὰ δὲ τὰ μέρη· ἔνθα τὰ ῥήματα δύο ὄντα, πρὸς ἑκάτερα τὰ μέρη τίθενται, καὶ τὸ μὲν ἄθροισμα κατὰ γενικὴν· κατ' ὀνομαστικὴν δὲ τὰ μέρη λέγονται· οἷον. Ἀετῶν οἱ μὲν ἀπέπτησαν, οἱ δὲ ἐτοξεύθησαν. γ'. Πλάγιος καθ' ἑκάτερα· ὅταν καὶ τὸ ἄθροισμα καὶ τὰ μέρη φέρωνται μεταβατικῶς πρὸς τὸ ῥῆμα· οἷον. Εἶδον ἀετοὺς διαπτάντας τὸν μὲν, τὸν δέ.

δ'. Συνεκδοχὴ, ὅταν τὸ μέρος συμπαραλαμβάνηται, καὶ συνεκλαλῆται τῷ ὅλῳ· οἷον. Λευκὸς τὴν τρίχα· Πάσχω τὸν πόδα.

## Περὶ Μεταθέσεως.

### Εἴδη Μεταθέσεως.

α'. Πρωθύστερον, ὅταν δύο λόγοι, ἢ λέξεις διάφοροι πρὸς ἀλλήλας μεταθῶνται ἐκ τῆς οἰκείας θέσεως, καὶ τὸ πρῶτον ὕστερον, καὶ τὸ ὕστερον πρῶτον γένηται· οἷον. Σὺ γὰρ δὴ καὶ φιλόσοφος εἶ, καὶ φιλάνθρωπος· Σοί με δεῖ προσανακλαύσασθαι τὰς τῆς ἐνεγκούσης συμφοράς.

β'. Ἀντεστραμμένον, ὅταν τὰ ἐφελκυστικὰ ἑτέρας ἐννοίας μόρια, με-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ. ΕΠΕΑΕΚ Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τὰ τὴν ἑπομένην ἔννοιαν τελῶσιν· οἷον· Οἷος ἦν Αἴας, τοιοῦτος Ἀχιλεύς ἐστιν. Ὅτε ὄρθρος ἀνέτειλε, τότε ὄμβρος ἐγένετο. Οὕτως ὁ νοητὸς ἥλιος καταυγάζει, ὥσπερ ὁ αἰσθητὸς φωτίζει· Κινεῖται, εἰ περιπατεῖ.

γ΄. Ὑπερβατὸν· Ὅταν τις ἔννοια, ἢ λέξις διακόπτηται, καὶ ἐπεντιθῆται ἄλλη· οἷον. Τοῦτο ἐκεῖνο, ὅπερ καὶ ἀληθὲς ὑπάρχει, φαῦλον φαίνεσθαι· ὡς δ᾽ αὔτως.

δ΄. Ὑπερβιβασμὸς· ὅτε αἱ προθέσεις· οὐ τίθενται κατὰ παράθεσιν πρὸς τὴν πτῶσιν, ἣν ἀπαιτοῦσιν, ἀλλὰ συντίθενται τοῖς ῥήμασιν· οἷον. Συλλαλῶ σοι.

ε΄. Ἀναστροφὴ· ὅταν αἱ προθέσεις μὴ προηγῶνται, ὧν προηγεῖσθαι χρὴ πτώσεων· ὧν πᾶσαι μὲν σχεδὸν κατὰ ποιητὰς ἀναστρέφονται, ἡ δὲ Πρὸς καὶ Περὶ καὶ κατὰ λογογράφους· οἷον. Προθέσεως πέρι γράφω· Καὶ ἔτι πρός.

ϛ΄. Χιαστὸν· ὅταν τὰ ἀποδιδόμενα ἐναλλὰξ τιθῶνται τοῖς ἡγουμένοις. Γίνεται δὲ·

α΄. Ἐκ τῆς τῶν ἄρθρων θέσεως· οἷον· Οἱ τὴν φροντίδα ἔχοντες.

οἱ X τὴν
φροντ. X ἔχοντ.

β΄. Ἐκ τῆς τῶν ἐπιθέτων πρὸς τὰ οὐσιαστικὰ ἀποδόσεως· οἷον. Τὴν μικρὰν καὶ φαύλην τῆς ἀγαθῆς καὶ μεγάλης.

τὴν μικρὰν X καὶ φαύλην
τῆς ἀγαθῆς X καὶ μεγάλης.

γ΄. Ἐκ τῆς μεταβάσεως· ἐὰν τὰ ῥήματα τιθῶσιν ἐπάλληλα, μεθ᾽ ἃ αἱ μεταβάσεις ἐναλλὰξ· οἷον· Εἰσάγων ἐξάγων ἀπὸ ἀπιστίας εἰς πίστιν. χρῶμαι, οἷς ἔχω βιβλίοις.

εἰσάγων X ἐξάγων
ἀπὸ ἀπιστ. X εἰς πίς.

χρῶμαι X οἷς
ἔχω X Βιβλ.

δ΄. Ἐκ τῆς τῶν λόγων ἀποδόσεως· ὅταν τοῦ δευτέρου λόγου ἡ ἀπόδοσις τεθῇ πρώτη· καὶ τοῦ πρώτου δευτέρα· οἷον. Μισόπαις οὔ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Α της Κ.Π ΙΩΑΝΝΙΝΑ 2005

τος, ἐγὼ φιλοπάτωρ γίνομαι· ἐγὼ τὴν φύσιν ἀσπάζομαι, οὗτος τὰ τῆς φύσεως παρορᾷ.

Μισόπαις οὗτος    ἐγὼ φιλοπάτωρ γίνομαι·
ἐγὼ τὴν φύσιν ἀσπάζομαι.  Χ  οὗτος τὰ τῆς φύσεως παρορᾷ.

ζʹ. Κύκλος· ὅταν, προτεθέντων τινῶν κατὰ τάξιν ἤτοι λέξεων ἢ λόγων, ἡ ἀπόδοσις ἄρχηται ἀπὸ τοῦ ἐσχάτου, καὶ τελευτᾷ μέχρι τοῦ πρώτου· οἷον. Οἱ τὴν τῶν ἁπάντων φροντίδα ἔχοντες· Τριῶν ὄντων τῶν βίων, ὧν ὁ μὲν, πρακτικὸς· ὁ δὲ, θεωρητικὸς· ὁ δὲ, ἀπολαυστικὸς· Ὁ μὲν ἔκλυτος καὶ δοῦλος τῶν ἡδονῶν, ζωώδης, καὶ μικροπρεπής ἐστιν, ὁ δὲ Θεωρητικὸς, τοῦ πρακτικοῦ διαμαρτάνων, ἀνωφελής· ὁ δὲ πρακτικὸς, ἀμοιρήσας φιλοσοφίας, ἄμουσος καὶ πλημμελής.

## Περὶ Μεταλήψεως.

Μετάληψις δὲ διττῶς γίνεται.

Αʹ. Κατὰ Ἀντιμέρειαν· ὅταν ἄλλο μέρος λόγου ἀντὶ ἄλλου λαμβάνηται· οἷον. Τὸ ὑπερβάλλον τῆς λύπης· ἀντὶ Ἡ ὑπερβολή· Τὸ ὀδοδέναι, ἀντὶ ἡ ὀδμή· Οὐδείς ἐστιν ὅς τις, ἀντὶ Πᾶς τις· Εἰσὶν οἳ, ἀντὶ Ἔνιοι, Τινές· Χαίρων ἦλθον· ἀντὶ Μετὰ Χαρᾶς. Τυπτόντων ἀττικῶς, ἀντὶ Τυπτέτωσαν· καὶ ἄλλα μύρια.

Βʹ. Κατὰ τὰ παρεπόμενα τοῖς τοῦ λόγου μέρεσι.

αʹ. Κατὰ Γένος· ὅταν ἄλλο ἀντ' ἄλλου γένους μεταλαμβάνηται· οἷον. Πονηρὸν ὁ συκοφάντης. Δεινὸν ἡ ἄγνοια. Πόλεις ἐκεῖναι εἰσὶν, οὓς φωλεοὺς εἶναι νομίζεις. Τὸ ἰωνικὸν τῆς στολῆς· Οἰκονόμος τῆς ἀδικίας, ἀντὶ Ἄδικος. Τὸ τοῦ θεοῦ εὐμενὲς· ἀντὶ Ἡ εὐμένεια.

Ε.Υ.Δ της Κ.τ.Ι
ΙΩΑΝΝΙΝΑ 2006

β΄. Κατ' Εἶδος· οἷον. Τὴν Ἑλλάδα φωνὴν· ἀντὶ Τὴν Ἑλληνικὴν. καὶ, Ὥσπερ ἐκ τῶν χρηστοτέρων ἦλθε τὰ λυπηρὰ· οὕτω καὶ ἐκ τῶν λυπηρῶν ἐπανῆλθε τὰ χρηστότερα.

γ΄. Κατὰ Ἀριθμὸν· οἷον. Χρήσιμον αἱ ψευδένεδραι. Τὴν διακοσίαν ἵππον· ἀντὶ τοὺς διακοσίους ἱππεῖς. Τὰ παιδία παίζει. Δύο ἄνθρωποι.

δ΄. Κατὰ πτῶσιν· καὶ λέγεται ἀντίπτωσις· οἷον. Οἱ φρόνιμοι τῶν ἀνθρώπων, ἀντὶ Οἱ φρόνιμοι ἄνθρωποι. Τὸ περιὸν τῆς τιμῆς· Τὸν πλεῖστον τοῦ βίου· ἀντὶ ἡ περιοῦσα τιμὴ, Τὸν πλεῖστον βίον· Τὸ ἰωνικὸν τῆς στολῆς· ἀντὶ Ἡ ἰωνικὴ στολή. Ἀριστοτέλης ἐστὶ τῶν σοφῶν, ἢ ἐν τοῖς σοφοῖς· ἔνθα δῆλον ὅτι τοῦτον τὸν τρόπον γενομένης τῆς Ἀντιπτώσεως, ἡ γενικὴ ὅλον ἐστὶ καὶ τὸ ἐπίθετον μέρος· καὶ ἔστι διαιρετικὴ ἡ γενικὴ· καὶ ἐν τοῖς τοιούτοις τὰ τοιαῦτα γίνεται.

ε΄. Κατὰ Διάθεσιν· οἷον. Ἀθανάσιον ἐπαινῶν, ἀρετὴν ἐπαινέσομαι, ἀντὶ τοῦ Ἐπαινέσω.

ς΄. Κατὰ πρόσωπον· οἷον. Εὐνοίᾳ ἐγὼ τῇ σῇ· ἤτοι Τῇ ἐμῇ, ἣν ἔχω πρὸς σέ.

ζ΄ Κατὰ χρόνον· ὃ καὶ Ἀντιχρονισμὸς καλεῖται· ὅτε, ἤτοι τῷ παρεληλυθότι χρώμεθα ἀντὶ ἐνεστῶτος, ἀναγκαίου καὶ ὁμολογουμένου τοῦ πράγματος ὄντος. οἷον. Ἦρξω χειρῶν ἀδίκων· ὁ δὲ ἠμύνατο· ἢ τῷ ἐνεστῶτι ἀντὶ παρῳχημένου, εἰς σαφῆ παράστασιν τῶν πραγμάτων· οἷον. Βάλλει εἰς μέτωπον, καὶ κατέσχε τὸν κάπρον· ἢ τῷ ἐνεστῶτι ἀντὶ μέλλοντος πρὸς πίστωσιν τοῦ λεγομένου· οἷον. Ἐγὼ δ' ἄγω Βρισηΐδα, ἀντὶ ἄξω.

η΄. Κατ' Ἔγκλισιν· ὃ καὶ Ἀντέγκλισις ὀνομάζεται· ὅτε, ἤτοι χρώμεθα τῇ εὐκτικῇ ἀντὶ ὁριστικῆς μετὰ τοῦ ἂν καὶ χωρὶς, μετριοφρονοῦντες· οἷον. Ἡδέως ἂν λάβοιμι· ἢ τῇ ὑποτακτικῇ ἀντὶ ὁριστικῆς· τὸ ἀμφίβολον τοῦ παρῳχημένου ὁμολογοῦμεν πως δεικνύοντες· οἷον. Εἰμὴ εἰς Λεβάδειαν παρέλθω, καὶ ἐρωτήσω διὰ

ΕΡΓΑΣΤΗΡΙΟ ΒΙΒΛΙΟΘΗΚΗ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ Κ. ΠΕΤΣΙΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ.
Εργ. Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

τοῦ ςομίου, οὐκ ἂν δυναίμην εἰδέναι ὅτι νεκρὸς εἶ· ἢ τῇ εὐκτικῇ, ἢ ἀπαρεμφάτῳ ἀντὶ προστακτικῆς, τὸ βαρὺ τῆς προςάξεως ἀποκλίνοντες· οἷον. Οὐκ ἂν φθάνοις διηγούμενος· ἢ μὴ διδάσκειν, ἢ διδάσκειν τῷ τρόπῳ.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ
ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Περὶ Συμπτώσεως.

Σύμπτωσις δὲ, ὅταν συμπίπτωσιν εἰς τὴν αὐτὴν φωνὴν διάφορα σημαινόμενα· γίνεται δὲ ἑξαχῶς·

α΄. Κατὰ Γένος· οἷον· Πέτρος ἄνθρωπος· ἡ Μαρία ἄνθρωπος· ἡ γὰρ ἄνθρωπος φωνὴ συμπίπτει καὶ εἰς τὸ ἀρσενικὸν καὶ θηλυκὸν γένος.

β΄. Κατὰ Πτῶσιν· Κόπτει ξύλα· Ξύλα εἰσί· συμπίπτει γὰρ ἡ ὀνομαστικὴ τῇ αἰτιατικῇ.

γ΄. Κατὰ Ἀριθμόν· οἷον· Ἔλεγον καὶ ἑνικοῦ, καὶ πληθυντικοῦ ἀριθμοῦ ἐστί.

δ΄. Κατὰ χρόνον· οἷον· Συνέβη γράφειν· καὶ Συμβαίνει γράφειν. συμπίπτει γὰρ ἐν τῷ Γράφειν ὁ ἐνεστὼς τῷ παρατατικῷ.

ε. Κατὰ πρόσωπον· Ἔλεγον καὶ πρῶτον ἑνικὸν, καὶ τρίτον πληθυντικόν.

ϛ΄. Κατὰ Διάθεσιν· οἷον. Βιάζομαι τὸν ἐχθρὸν, καὶ βιάζομαι ὑπὸ τοῦ ἐχθροῦ.

Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006